τικὸν ὀλισθηρὸν εἰς ᾠδὴν ἔχουσιν, διὸ καὶ τοὺς ῥήτορας B
ἐν τοῖς ἐπιλόγοις καὶ τοὺς ὑποκριτὰς ἐν τοῖς ὀδυρμοῖς
ἀτρέμα τῷ μελῳδεῖν προσάγοντας ὁρῶμεν καὶ παρεντεί-
νοντας τὴν φωνήν. αἵ τε σφοδραὶ περιχάρειαι τῆς ψυχῆς
τῶν μὲν ἐλαφροτέρων τῷ ἤθει καὶ τὸ σῶμα συνεπαίρουσιν
καὶ παρακαλοῦσιν εἰς ἔνρυθμον κίνησιν, ἐξαλλομένων καὶ
κροτούντων εἴπερ ὀρχεῖσθαι μὴ δύνανται·

‘μανίαι τ’ ἀλαλαί τ’ ὀρινομένων ῥιψαύχενι σὺν κλόνῳ’

κατὰ Πίνδαρον (fr. 208 = 70ª, 10)· οἱ δὲ χαρίεντες ἐν
τῷ πάθει τούτῳ γενόμενοι τὴν φωνὴν μόνην εἰς τὸ ᾄδειν
καὶ φθέγγεσθαι μέτρα καὶ μέλη προΐενται. μάλιστα δ’ ὁ
ἐνθουσιασμὸς ἐξίστησι καὶ παρατρέπει τό τε σῶμα καὶ C
τὴν φωνὴν τοῦ συνήθους καὶ καθεστηκότος. ὅθεν αἵ τε
βακχεῖαι ῥυθμοῖς χρῶνται καὶ τὸ χρησμῳδεῖν ἐμμέτρως
παρέχεται τοῖς ἐνθεαζομένοις, τῶν τε μαινομένων ὀλίγους
ἰδεῖν ἔστιν ἄνευ μέτρου καὶ ᾠδῆς ληροῦντας. οὕτω δὲ
τούτων ἐχόντων εἰ βούλοιο καθορᾶν ὑπ’ αὐγὰς διαπτύξας
τὸν ἔρωτα καὶ καταμανθάνειν, οὐκ ἂν ἄλλο πάθος εὕροις
οὔτε λύπας δριμυτέρας ἔχον οὔτε σφοδροτέρας περι-
χαρείας οὔτε μείζονας ἐκστάσεις καὶ παραφροσύνας, ἀλλ’
ὥσπερ τὴν Σοφοκλέους (O. R. 4) πόλιν ἀνδρὸς ἐρωτικοῦ
ψυχὴν ‘ὁμοῦ μὲν θυμιαμάτων γέμουσαν,

ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.’ D

οὐδὲν οὖν ἄτοπον οὐδὲ θαυμαστόν, εἰ πάσας, ὅσαι μου-
σικῆς εἰσιν ἀρχαί, περιέχων ὁ ἔρως ἐν αὑτῷ καὶ συνειλη-